www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΝΗΦΩΝΑ, ΠΑΤΡΙΑΡΧΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΤΟΝ ΔΙΟΝΥΣΙΑΤΗΝ

**(Οὗ ἡ μνήμη τῇ 11η Αὐγούστου)**




**Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος**

*** ͵βιγ΄ * 2013 ***

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΕΡΑ ΗΜΩΝ ΝΗΦΩΝΑ, ΠΑΤΡΙΑΡΧΗΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΤΟΝ ΔΙΟΝΥΣΙΑΤΗΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου.

Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου.

Καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*τό, Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μονῆς Προδρόμου ἀσκητὴς θεοφόρος, Θεσσαλονίκης ἱερὸς ποιμενάρχης, Βασιλευούσης πρόεδρος, Δακίας φωτιστής, Νήφων ἀναδέδειξαι, ταπεινώσει βαθείᾳ, τοῦ Χριστοῦ κοσμούμενος, ὑπὲρ ἔννοιαν πᾶσαν· ὅθεν τὰς σὰς κατάπεμψον εὐχάς, τοῖς σὲ τιμῶσιν, ὦ πάτερ φιλότεκνε

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρῥύσατο,
ἐκ τοσούτων κινδύνωνκ τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανών, οὗ ἡ ἀκροστιχίς:**

*«Νήφων, πατρικῶς δέξαι δεήσεις τέκνων. Ἀ(θανάσιος)».*

Ὠιδὴ α'. Ἦχος πλ.δ'. Ὑγρὰν διοδεύσας.

Ναὸς ἀνεδείχθης Θεοῦ λαμπρός, ἀσκήσει καὶ νήψει, ἱεράρχα Νήφων βιούς· διὸ ὡς πλουτῶν τὴν παῤῥησίαν, ὑπὲρ ἡμῶν τῷ Κυρίῳ ἱκέτευε.

Ἠγάπησας σφόδρα γλυκὺν Χριστόν, ἐκ πρώτων βημάτων, καὶ ἀσκήσεως τὸν σταυρόν, ὡς ἄρας σοῖς ὤμοις πάτερ Νήφων, θείαν ἀγάπην ἡμῖν δὸς ἀείφλεκτον.

Φωτὶ τῷ ἀκτίστῳ κατελλαμφθείς, ἐν νήψει ἐμμένων, Νήφων πλήθη σαῖς διδαχαῖς, ἐφώτισας καὶ ἡμᾶς φωτίσαις, τὸν Ἰησοῦν ἱκετεύων φιλότεκνε.

*Θεοτοκίον*

Ὡς πάγκαλλον ἄνθος ἀθωνικόν, ὁ Νήφων ἐφάνη, ἐν Προδρόμου θείᾳ Μονῇ, βιώσας Κυρία Θεοτόκε, καὶ ἐνεπλήσθη τῶν δώρων τῆς Χάριτος.

*Ὠιδὴ γ'. Οὐρανίας ἁψῖδος.*

Νουνεχῶς ὑπακούσας πνευματικοῖς γέρουσι, κατὰ τὸν Πατρὶ Θεὸν Λόγον, καθυπακούσαντα, Νήφων μακάριε, ὑπακοὴν ἐκ καρδίας, δὸς τοῖς ὑπὸ γέροντος, ζυγῷ ὁδεύουσιν.

Πολιτείαν προκρίνας, προδρομικὴν ὅσιε, ἐν Διονυσίου προσῆλθες, Μονῇ καὶ γέγονας, τύπος ἀσκήσεως, θεοφιλοῦς πάτερ Νήφων, ἣν εὐχαῖς σου δώρησαι, τοῖς σὲ γεραίρουσιν.

Ἀναβαίνων καθ' ὥραν, τὴν νοητὴν Κλίμακα, καὶ ἐκκαθαρθεὶς τὴν καρδίαν, κεχειροτόνησαι, καὶ ὥσπερ ἄγγελος, Θεῷ παρίστασο Νήφων· ὅθεν προσεδρεύοντας, Αὐτῷ ἁγίασον.

*Θεοτοκίον*

Τὸν τιμήσαντα Μῆτερ, τὸν ἱερὸν Κῆπόν σου, Νήφωνα ἐτίμησας ὄντως! ὡς ἀναδείξασα, ἱεραρχήσαντα, σοφῶς λαοῦ χριστωνύμου, καὶ πηγὴν ἀέναον θαυμάτων δείξασα.

Διάσωσον, τοὺς αἰτουμένους ὦ θεῖε Νήφων, τὴν θερμήν σου πρεσβείαν πρὸς Κύριον, καὶ ἄνοιξον πύλην ἡμῖν, ποθητοῦ Παραδείσου.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β'. Πρεσβεία θερμή.*

Ποιμένων ποιμήν, Βασιλευούσης πρόεδρος, θαυμάτων πηγή, ὑπάρχων Νήφων ἅγιε, τοὺς πιστῶς τιμῶντάς σε, πατρικῶς σκέπε καὶ πλήρωσον, τὰς ἱκεσίους προσευχάς, πρὸς σωτηρίαν τὴν αἰώνιον.

Ὠιδὴ δ'. Εἰσακήκοα, Κύριε.

Ῥῦσαι Νήφων μακάριε, πάσης ἐπηρείας τοῦ πολεμήτορος, τοὺς προστρέχοντας τῇ σκέπῃ σου, καὶ ψυχὰς αὐτῶν παθῶν ἐκκάθαρον.

Ἱερῶς πολιτεύεσθαι, πάντας χριστωνύμους Νήφων ἀξίωσον, καὶ τηρεῖν τὰ δικαιώματα, τοῦ Θεοῦ ἐν πάσῃ ὁσιότητι.

Κύκλῳ τεῖχος ἀνάδειξον, τὰς εὐχάς σου Νήφων τῶν δούλων σου, ὥστε βέλη πολεμήτορος, ἀποκρούειν πάντα τὰ ψυχώλεθρα.

Θεοτοκίον

Ὡς τῷ Νήφωνι Πάναγνε, δέδωκας Κυρίου θείαν ἀγάπησιν, οὕτω δὸς καὶ τοῖς αἰτοῦσί σε, ταύτην ὥσπερ δῶρον ὑπερτίμητον.

Ὠιδὴ ε'. Φώτισον ἡμᾶς.

Στήριξον ἡμᾶς, πάτερ Νήφων ὡς ἐστήριξας, Θεσσαλονίκης ἐν δουλείᾳ τοὺς πιστούς, καὶ ἐλευθέρους, ἁμαρτίας ἐναπόδειξον.

Δόξης κοσμικῆς, βδέλλα Νήφων οὐ δεδύνηται, καταπιεῖν γενναῖον σῆς ψυχῆς, ἧς περ ἀτρώτους, καὶ ἡμᾶς εὐχαῖς σου τήρησον.

Ἔλαμψας φαιδρῶς, πανταχοῦ βίου λαμπρότητι, καὶ πολλοὺς συνῆψας Νήφων τῷ Χριστῷ, Ὧι αἰωνίως, ἀχωρίστους ἡμᾶς σύνδησον.

Θεοτοκίον

Ξένον τῶν παθῶν, Μῆτερ Νήφωνα τηρήσασα, καὶ τοὺς τιμῶντάς σε ἐκ πίστεως, τῇ ἀπαθείᾳ, ὥσπερ οἶδας καταστόλισον.

Ὠιδὴ ϛ'. Τὴν δέησιν.

Ἀπέδειξας, Ὀρθοδόξου πίστεως, μεγαλεῖον πάτερ Νήφων ἐν ἔργοις, θαυματουργῶν, τῇ δυνάμει Κυρίου, καὶ ἰατρεύων ποικίλα νοσήματα, διὸ ὡς θεῖος ἰατρός, καὶ ἡμᾶς ἀσθενοῦντας ἰάτρευσον.

Ἱλέωσαι, πατρικαῖς δεήσεσι, τὸν Δεσπότην θεῖε Νήφων ταχέως, Ὃν ἀδεῶς, ταῖς αἰσχραῖς ἁμαρτίαις, ἀναισθητοῦντες πολλὰ παροργίζομεν, ὅπως τὸ ἔλεος Αὐτοῦ, ἐπεκτείνῃ ἡμῖν ὡς Φιλάνθρωπος.

Δακία σε, φωτιστὴν θεόσταλτον, ἐν ἡμέραις δυσχειμέροις ἐπέγνω, ἔνθα λαόν, εὐσεβῶς ὁδηγήσας, πρὸς μετανοίας ὁδοὺς πεῖραν ἔσχηκας, μανίας Νήφων τοῦ ἐχθροῦ, ἧς περ ῥῦσαι τοὺς πόθῳ τιμῶντάς σε.

*Θεοτοκίον*

Ἐν σκέπῃ σου, τῶν πτερύγων Δέσποινα, τοὺς ὑμνοῦντάς σου τὸν ἄχραντον τόκον, ὡς νεοσσούς, ἐξ ἱέρακος τήρει, τοῦ νοητοῦ καὶ σφοδρῶς ἐπεγείροντος, πολλοὺς ἡμῖν τοὺς πειρασμούς, καὶ παγίδας ἀπείρους συστήνοντος.

Διάσωσον, τοὺς αἰτουμένους ὦ θεῖε Νήφων, τὴν θερμήν σου πρεσβείαν πρὸς Κύριον, καὶ ἄνοιξον πύλην ἡμῖν, ποθητοῦ Παραδείσου.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Ὡς τοῦ Ἄθωνος Ὄρους ἐκβλάστημα, καὶ Βασιλευούσης Πατριάρχης
θεόκλητος, πάτερ Νήφων, εὐλογηθεὶς θαυμάτων δωρεᾷ,
ἡμᾶς πόθῳ εὐλαβεῖ, ἐξαιτουμένους σὰς εὐχάς, οὐρανόθεν εὐλόγησον·
κάθαρον τὰς ἐννοίας, μνήμῃ Χριστοῦ γλυκέος,
καὶ ἐνδυνάμωσον ποιεῖν, τὸ Αὐτοῦ
θεῖον θέλημα.

Προκείμενον. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Στίχ. *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.*

**Εὐαγγέλιον.**

*Ἐκ τοῦ κατὰ Ἰωάννην ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.*

(ι´ 7-16).

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ, ἐάν τις εἰσέλθῃ, σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτά, καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς καὶ γινώσκω τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

*Ἦχος β´.*

*Δόξα Πατρί.*

Ταῖς τοῦ Ἱεράρχου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων.

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

Στίχ. *Ἐλέησόν με ὁ Θεός...*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ἦχος πλ.β'. Ὅλην ἀποθέμενοι.*

Ὅλην σου τὴν ἔφεσιν, ἀπὸ παιδὸς ἀνατείνας, πρὸς Θεὸν μακάριε, πάτερ Νήφων γέγονας, σκεῦος τίμιον, τοῦ Ἁγίου Πνεύματος, καὶ ταπεινωθέντα, Ἰησοῦν ἐκμιμησάμενος, πάντας ἐξέπληξας, μοναστὰς τοῦ Ἄθω τῷ βίῳ σου, ὡς ναῦς τις δὲ χριστόφορτος, ἐν Διονυσίου καθώρμισαι. Ὅθεν Πατριάρχα, τὴν χάριν θαυμασίων εἰληφώς, τὴν Ἐκκλησίαν τιμῶσάν σε, ταῖς εὐχαῖς σου στήριξον.

*Ὠιδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ηὔγασάς σου τῷ βίῳ, τῆς δουλείας τὸ σκότος λάμψας ὦ Νήφων φαιδρῶς, στηρίξας χριστωνύμων, καρδίας κλονουμένας, ὅθεν πάτερ τοῦ σκότους με, τοῦ δουλικοῦ τῶν παθῶν, ἐξάγαγε εὐχαῖς σου.

Σωφροσύνῃ συζήσας, πρακτικῶς ταύτην Νήφων πᾶσιν ἐδίδασκες, διὸ καὶ οὐκ ἠνέχθης, κρατούντων ἀνομίας, ὑποστὰς θλῖψιν ἄδικον, ἧς περ τοὺς σοὺς ὑμνητάς, ἀτρώτους διατήρει.

Ἐν Μαρτύρων τῇ τάξει, κατιδεῖν ἠξιώθης δυάδα σῶν μαθητῶν, οἷς εὐχηθεὶς ὡς ἄρνας, Χριστοῦ πρὸς τὸ σφαγῆναι, πατρικῶς ἐξαπέστειλας· ὅθεν τὸν ζῆλον αὐτῶν, ἡμῖν παράσχου Νήφων.

*Θεοτοκίον*

Ἱκετεύειν μὴ παύσῃ, Παναμώμητε Μῆτερ ὑπὲρ τῶν τέκνων σου, τῶν πᾶσαν τὴν ἐλπίδα, εἰς σὲ ἀναθεμένων, καὶ ποθούντων τὴν ἕνωσιν, τὴν μυστικὴν τοῦ Χριστοῦ, Υἱοῦ σου γλυκυτάτου.

Ὠιδὴ η'. Τὸν βασιλέα.

Στύλος ἐφαίνου, ἐν προσευχαῖς πάτερ Νήφων, σεαυτὸν ἀνυψῶν πρὸς τὸν Δεσπότην, Οὗπερ θεῖον πόθον, ἡμῖν ἅψαις ἀσβέστως.

Τῇ ταπεινώσει, ὁλοτελῶς ὡμοιώθης, τῷ Κυρίῳ ἐν γνώσει μάκαρ Νήφων, ἧς περ κατοικίας, ἡμᾶς δεῖξον εὐχαῖς σου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐθαυμαστώθης, ὑπερφυῶς θεῖε Νήφων, ἐν Μονῇ τοῦ σεπτοῦ Διονυσίου, ἣν διαφυλάττοις, Χριστῷ εὐαρεστοῦσαν.

*Θεοτοκίον*

Κράτει Κυρία, ὥσπερ ἀκράτητον πῶλον, ἀτακτοῦντα τὸν νοῦν μου καὶ Δεσπότου, δῆσον θείᾳ μνήμῃ, τῇ ἐξαγιαζούσῃ.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Νήφων Βασιλευούσης, μέγας Πατριάρχης, ἀναδειχθεὶς
εἰς Χριστοῦ τὰ βασίλεια, ὧν σὺν χοροῖς τῶν Ἁγίων, ἡμᾶς μνημόνευε.

Ὡς ποταμοὺς θαυμάτων, βλύζων σοῖς λειψάνοις,
Νήφων χαρίτων τὴν πλήμμυραν πάρεχε, πάθη ψυχῶν καὶ σωμάτων,
ἡμῶν ἰώμενος.

Νικήσας πάτερ Νήφων, πονηροῦ παγίδας, καὶ εἰληφὼς ἁγιότητος
στέφανον, τοὺς τὸν καλὸν ἐναθλοῦντας,
ἀγῶνα στήριξον.

*Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, Νήφωνα σὸν λάτρην, ἁγιασμοῦ παντελοῦς ἀξιώσασα, ἰδεῖν Δεσπότου τὴν δόξαν, ἡμᾶς ἀξίωσον.

*εἶτα ἐπιψάλλομεν τό,*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ, καὶ ἐνδοξωτέραν, ἀσυγκρίτως τῶν Σεραφίμ, τὴν ἀδιαφθόρως, Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

**Μεγαλυνάρια**

*(τὸ πρῶτον παλαιόν)*

Τῶν ἀρχιερέων τὴν καλλονήν, καὶ τῆς Ἐκκλησίας, τὸν φωστῆρα τὸν φαεινόν, τὸ τοῦ Ἄθω κλέος, καὶ ἀρετῶν τὸν πλοῦτον, τιμῶμέν σε ἐκ πόθου, Νήφων πατὴρ ἡμῶν.

Μιμηθεὶς Προδρόμου τὴν βιοτήν, ἐν Διονυσίου, θείᾳ Μάνδρᾳ Νήφων σεπτέ, καὶ ὡς Πατριάρχης, ἐν πάσῃ ταπεινώσει, πολιτευθεὶς θαυμάτων, τὴν χάριν εἴληφας.

Ἐκ παιδὸς ποθήσας τὸν Ἰησοῦν, Νήφων θεοφόρε, τῆς ἀσκήσεως τὸν σταυρόν, ἦρας καρποφόρως, διὸ καὶ ἠξιώθης, ὕψους Πατριαρχείας, ἐν ᾗ διέπρεψας.

Ἔνδυμα φορέσας τοῦ Ἰησοῦ, ταπείνωσιν θείαν, Νήφων πάτερ ὑπερφυῶς, βίον σου διῆλθες, διὸ καὶ ἐδοξάσθης, ὑπὸ τοῦ στεφανοῦντος, τοὺς ταπεινόφρονας.

Τοὺς ἀσπαζομένους σου τὰ σεπτά, λείψανα ὦ Νήφων, δεῖξον οἴκους τοῦ Ἰησοῦ, ἐν τῇ ἐκμιμήσει, τοῦ θαυμαστοῦ σου βίου, δι᾽ ὅνπερ ἐδοξάσθης, παναγιώτατε.

Ὅταν παραστῶμεν πρὸ τοῦ Κριτοῦ, ἐν ἐσχάτῃ ὥρᾳ, τότε Νήφων πρέσβυς γενοῦ, ὑπὲρ τῶν τιμώντων, τὴν μνήμην σου τὴν θείαν, ὅπως ῥυσθῶμεν πάντες φρικτῆς κολάσεως.

*εἰδικὸν διὰ τοὺς Νήφωνας*

Νῆψιν καὶ ταπείνωσιν ἀληθῆ, δίδου μάκαρ Νήφων, ὁμωνύμοις σου πατρικῶς, ὅπως ἐποφθῶσι, συμμέτοχοι τῆς δόξης, ἣν ἔχεις σὺν Ἁγίοις, εἰς τὸν Παράδεισον.

Πᾶσαι τῶν ᾽Αγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.*
*καὶ τὰ τροπάρια*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro


Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὰ ἀκόλουθα προσόμοια.*
*Ἦχος β.᾽ Ὅτε ἐκ τοῦ ξύλου σε.*

Ἀρχιερωσύνης τὴν στολήν, θείᾳ ταπεινώσει στολίσας,
Νήφων μακάριε, τύπος Χριστοῦ γνήσιος, ὑπάρχεις πάντων πιστῶν.
Καὶ θαυμάτων ἐνέργειαν, πλουτῶν μὴ ἐλλείπῃς, χάριν δοῦναι
ἄφθονον, τοῖς αἰτουμένοις θερμῶς· ὅπως σῶν λειψάνων τὴν θήκην,
ὡς ἐνεργειῶν τῶν ἀκτίστων, πάροχον ἐμπόθως ἀσπαζώμεθα.

Σύντρεις τὴν Τριάδα τὴν σεπτήν, Πρόδρομε κλεινὲ τοῦ Κυρίου
καὶ Νήφων ἅγιε, πάτερ Διονύσιε, Μονῆς σου ἔφορε, ὑπὲρ ταύτης
πρεσβεύετε, καὶ πάντων τῶν ὅσοι, ἐν αὐτῇ ἀσκήσεως,
ὁδὸν βαδίζουσιν, ἵνα κληρονόμοι φανῶσι,
τῆς ἐπουρανίου Πατρίδος, δι’ ἣν τὰ τοῦ κόσμου ἀπετάξαντο.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου,
καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε,
εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν,
τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου,
τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς,
ὡς μόνος οἰκτίρμων.

Δι᾽ εὐχῶν.

*Στίχοι*

*Νῆψιν εὐκτικὴν καὶ ταπείνωσιν δίδου,*
*Τοῖς αἰτοῦσί σου, ὦ Νήφων, τὴν πρεσβείαν.*